68. JAIRUS DAUGHTER RAISED AND OTHERS HEALED (Matt-Lk Identicals)

| Matt 9:18-34 | Luke 8:40-56 |
| --- | --- |
| | Ἐν δὲ τῷ ὑποστρέφειν |
| | τὸν Ἰησοῦν |
| | |
| | ἀπεδέξατο αὐτὸν ὁ ὄχλος, |
| | ἦσαν γὰρ πάντες προσδοκῶντες αὐτόν. |
| | |
| Ταῦτα αὐτοῦ λαλοῦντος αὐτοῖς | |
| ἰδοὺ | 41 καὶ ἰδοὺ ἦλθεν |
| ἄρχων εἷς ἐλθὼν | ἀνὴρ |
| | ᾧ ὄνομα Ἰάϊρος, καὶ οὗτος |
| | ἄρχων τῆς συναγωγῆς ὑπῆρχεν, |
| προσεκύνει | καὶ πεσὼν |
| αὐτῷ | παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ |
| | παρεκάλει αὐτὸν |
| | |
| | εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ, |
| λέγων ὅτι | |
| Ἡ θυγάτηρ μου | 42 ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ |
| | ὡς ἐτῶν δώδεκα |
| ἄρτι ἐτελεύτησεν· | καὶ αὐτὴ ἀπέθνῃσκεν. |
| ἀλλὰ ἐλθὼν ἐπίθες | |
| τὴν χεῖρά σου ἐπ αὐτήν, | |
| καὶ ζήσεται. | |
| 19 καὶ ἐγερθεὶς ὁ Ἰησοῦς | |
| | Ἐν δὲ τῷ ὑπάγειν αὐτὸν |
| ἠκολούθησεν αὐτῷ | |
| καὶ οἱ μαθηταὶ αὐτοῦ. | οἱ ὄχλοι |
| | συνέπνιγον αὐτόν. |
| 9·20 Καὶ ἰδοὺ γυνὴ | 43 καὶ γυνὴ οὖσα ἐν ῥύσει |
| αἱμορροοῦσα δώδεκα ἔτη | αἵματος ἀπὸ ἐτῶν δώδεκα, |
| | |
| | ἥτις ἰατροῖς προσαναλώσασα |
| | ὅλον τὸν βίον |
| | οὐκ ἴσχυσεν ἀπ οὐδενὸς θεραπευθῆναι, |
| | |
| προσελθοῦσα ὄπισθεν | 44 προσελθοῦσα ὄπισθεν |

| Matt 9:18-34 | Luke 8:40-56 |
|---|---|
| ἥψατο τοῦ κρασπέδου | ἥψατο τοῦ κρασπέδου |
| τοῦ ἱματίου αὐτοῦ· | τοῦ ἱματίου αὐτοῦ, |
| 21 ἔλεγεν γὰρ ἐν ἑαυτῇ, | |
| Ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου | |
| αὐτοῦ σωθήσομαι. | |
| | καὶ παραχρῆμα ἔστη ἡ ῥύσις |
| | τοῦ αἵματος αὐτῆς. |
| 22 ὁ δὲ Ἰησοῦς | |
| στραφεὶς | |
| | 45 καὶ εἶπεν ὁ Ἰησοῦς, |
| | Τίς ὁ ἁψάμενός μου |
| | ἀρνουμένων δὲ πάντων |
| | εἶπεν ὁ Πέτρος, |
| | Ἐπιστάτα, οἱ ὄχλοι συνέχουσίν σε |
| | καὶ ἀποθλίβουσιν. |
| καὶ ἰδὼν αὐτὴν | 8·46 ὁ δὲ Ἰησοῦς εἶπεν, |
| | Ἥψατό μού τις, |
| | ἐγὼ γὰρ ἔγνων δύναμιν |
| | ἐξεληλυθυῖαν ἀπ ἐμοῦ. |
| | 47 ἰδοῦσα δὲ ἡ γυνὴ |
| | ὅτι οὐκ ἔλαθεν |
| | τρέμουσα |
| | ἦλθεν καὶ προσπεσοῦσα αὐτῷ |
| | δι ἣν αἰτίαν ἥψατο αὐτοῦ |
| | ἀπήγγειλεν |
| | ἐνώπιον παντὸς τοῦ λαοῦ |
| | καὶ ὡς ἰάθη παραχρῆμα. |
| εἶπεν, | 48 ὁ δὲ εἶπεν αὐτῇ, |
| Θάρσει, θύγατερ· | Θυγάτηρ, |
| ἡ πίστις σου σέσωκέν σε. | ἡ πίστις σου σέσωκέν σε· |
| | πορεύου εἰς εἰρήνην. |
| καὶ ἐσώθη ἡ γυνὴ | |
| ἀπὸ τῆς ὥρας ἐκείνης. | |

| Matt 9:18-34 | Luke 8:40-56 |
| --- | --- |
| | 49 Ἔτι αὐτοῦ λαλοῦντος |
| | ἔρχεταί τις |
| | παρὰ τοῦ ἀρχισυναγώγου |
| | λέγων ὅτι |
| | Τέθνηκεν ἡ θυγάτηρ σου, |
| | μηκέτι σκύλλε τὸν διδάσκαλον. |
| | 50 ὁ δὲ Ἰησοῦς ἀκούσας |
| | |
| | ἀπεκρίθη αὐτῷ, |
| | Μὴ φοβοῦ, μόνον πίστευσον, |
| | καὶ σωθήσεται. |
| | 8·51 ἐλθὼν δὲ εἰς τὴν οἰκίαν |
| | οὐκ ἀφῆκεν εἰσελθεῖν τινα |
| | σὺν αὐτῷ |
| | εἰ μὴ Πέτρον |
| | καὶ Ἰωάννην καὶ Ἰάκωβον |
| | |
| | καὶ τὸν πατέρα τῆς παιδὸς |
| | καὶ τὴν μητέρα. |
| 23 Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς | |
| τὴν οἰκίαν τοῦ ἄρχοντος | |
| καὶ ἰδὼν τοὺς αὐλητὰςκαὶ τὸν | 52 ἔκλαιον δὲ πάντες καὶ |
| ὄχλον θορυβούμενον | ἐκόπτοντο αὐτήν. |
| 24 ἔλεγεν, | ὁ δὲ εἶπεν, |
| Ἀναχωρεῖτε, | Μὴ κλαίετε, |
| οὐ γὰρ ἀπέθανεν τὸ κοράσιον | οὐ γὰρ ἀπέθανεν |
| ἀλλὰ καθεύδει. | ἀλλὰ καθεύδει. |
| καὶ κατεγέλων αὐτοῦ. | 53 καὶ κατεγέλων αὐτοῦ, |
| | εἰδότες ὅτι ἀπέθανεν. |
| 25 ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος, | 54 αὐτὸς δὲ |
| | |
| εἰσελθὼν | |
| | |
| ἐκράτησεν τῆς χειρὸς αὐτῆς, | κρατήσας τῆς χειρὸς αὐτῆς |
| | ἐφώνησεν λέγων, |

| Matt 9:18-34 | Luke 8:40-56 |
| --- | --- |
| | Ἡ παῖς, ἔγειρε. |
| | *55* καὶ ἐπέστρεψεν τὸ πνεῦμα αὐτῆς, |
| *καὶ ἠγέρθη τὸ κοράσιον.* | *καὶ ἀνέστη παραχρῆμα,* |
| | *καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν.* |
| | *56 καὶ ἐξέστησαν* |
| | *οἱ γονεῖς αὐτῆς·* |
| | *ὁ δὲ παρήγγειλεν αὐτοῖς* |
| | *μηδενὶ εἰπεῖν τὸ γεγονός* |
| *26 καὶ ἐξῆλθεν ἡ φήμη αὕτη εἰς ὅλην τὴν γῆν ἐκείνην.* | |
| *27 Καὶ παράγοντι ἐκεῖθεν τῷ Ἰησοῦ ἠκολούθησαν αὐτῷ δύο τυφλοὶ κράζοντες καὶ λέγοντες, Ἐλέησον ἡμᾶς, υἱὸς Δαυίδ.* | |
| *28 ἐλθόντι δὲ εἰς τὴν οἰκίαν προσῆλθον αὐτῷ οἱ τυφλοί, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι λέγουσιν αὐτῷ, Ναί, κύριε.* | |
| *29 τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν λέγων, Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν.* | |
| *30 καὶ ἠνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί. καὶ ἐνεβριμήθη αὐτοῖς ὁ Ἰησοῦς λέγων, Ὁρᾶτε μηδεὶς γινωσκέτω.* | |
| *31 οἱ δὲ ἐξελθόντες διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ.* | |
| *32 Αὐτῶν δὲ ἐξερχομένων ἰδοὺ προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν δαιμονιζόμενον·* | |
| *33 καὶ ἐκβληθέντος τοῦ δαιμονίου ἐλάλησεν ὁ κωφός. καὶ ἐθαύμασαν οἱ ὄχλοι λέγοντες, Οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ.* | |
| *34 οἱ δὲ Φαρισαῖοι ἔλεγον, Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.* | |

537 total words with 52 identicals = 10%